Τῷ σπέρματι ὑμῶν δώσω αὐτήν· καὶ ἔδειξα αὐτὴν τοῖς ὀφθαλμοῖς
5 σου, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ. [5]καὶ ἐτελεύτησεν Μωυσῆς οἰκέτης
6 κυρίου ἐν γῇ Μωαβ διὰ ῥήματος κυρίου. [6]καὶ ἔθαψαν αὐτὸν ἐν
Γαι ἐν γῇ Μωαβ ἐγγὺς οἴκου Φογωρ· καὶ οὐκ οἶδεν οὐδεὶς τὴν
7 ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης. [7]Μωυσῆς δὲ ἦν ἑκατὸν καὶ
εἴκοσι ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν· οὐκ ἠμαυρώθησαν οἱ ὀφθαλ-
8 μοὶ αὐτοῦ, οὐδὲ ἐφθάρησαν τὰ χελύνια αὐτοῦ. [8]καὶ ἔκλαυσαν οἱ
υἱοὶ Ισραηλ τὸν Μωυσῆν ἐν Αραβωθ Μωαβ ἐπὶ τοῦ Ιορδάνου
κατὰ Ιεριχω τριάκοντα ἡμέρας· καὶ συνετελέσθησαν αἱ ἡμέραι
9 πένθους κλαυθμοῦ Μωυσῆ. [9]καὶ Ἰησοῦς υἱὸς Ναυη ἐνεπλήσθη
πνεύματος συνέσεως, ἐπέθηκεν γὰρ Μωυσῆς τὰς χεῖρας αὐτοῦ
ἐπ᾽ αὐτόν· καὶ εἰσήκουσαν αὐτοῦ οἱ υἱοὶ Ισραηλ καὶ ἐποίησαν
10 καθότι ἐνετείλατο κύριος τῷ Μωυσῇ. [10]καὶ οὐκ ἀνέστη ἔτι προ-
φήτης ἐν Ισραηλ ὡς Μωυσῆς, ὃν ἔγνω κύριος αὐτὸν πρόσωπον
11 κατὰ πρόσωπον, [11]ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασιν, ὃν ἀπέστει-
λεν αὐτὸν κύριος ποιῆσαι αὐτὰ ἐν γῇ Αἰγύπτῳ Φαραω καὶ τοῖς
12 θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ, [12]τὰ θαυμάσια τὰ με-
γάλα καὶ τὴν χεῖρα τὴν κραταιάν, ἃ ἐποίησεν Μωυσῆς ἔναντι
παντὸς Ισραηλ.

4 και paenult. > A | αυτην ult. > B || 5 ϛτελευτ.] + εκει A || 6 εν γη μωαβ > B | ταφην] τελευτην A || 7 τελευτησαι A† | εφθαρη A | τα χελ. αυτου > B || 8 τον > B || 11 παση > A || 12 init.] pr. και A | την 1⁰] pr. πασαν A

Subscr. δευτερονομιον BA

## ΙΗΣΟΥΣ

1 [1]Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Μωυσῆ εἶπεν κύριος τῷ Ἰησοῖ
2 υἱῷ Ναυη τῷ ὑπουργῷ Μωυσῆ λέγων [2]Μωυσῆς ὁ θεράπων μου
τετελεύτηκεν· νῦν οὖν ἀναστὰς διάβηθι τὸν Ιορδάνην, σὺ καὶ πᾶς
3 ὁ λαὸς οὗτος, εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι αὐτοῖς. [3]πᾶς ὁ τόπος,
ἐφ᾽ ὃν ἂν ἐπιβῆτε τῷ ἴχνει τῶν ποδῶν ὑμῶν, ὑμῖν δώσω αὐτόν,
4 ὃν τρόπον εἴρηκα τῷ Μωυσῇ, [4]τὴν ἔρημον καὶ τὸν Ἀντιλίβανον
ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς
θαλάσσης τῆς ἐσχάτης ἀφ᾽ ἡλίου δυσμῶν ἔσται τὰ ὅρια ὑμῶν.
5 [5]οὐκ ἀντιστήσεται ἄνθρωπος κατενώπιον ὑμῶν πάσας τὰς ἡμέρας

Ios.: BA.
Inscr.] + υιος ναυη A
1 1 ειπεν] pr. και A | υπουργω] λιτουργω A